ΤΟ ὑπὸ τῇ κάτω γένυϊ κατὰ τὴν μέσην χώραν τῶν πρώτων τοῦ τραχήλου μερῶν τεταγμένον σῶμα, προπετὲς εἰς τὸ πρόσωπον φαινόμενον, ἅπαντες ἴσασί τε καὶ καλοῦσι λάρυγγα, καὶ θλᾶν γε αὐτὸ ἐπιχειροῦσιν οἱ παγκρατιασταί. πνίγεται γὰρ παραυτίκα θλασθέντος αὐτοῦ τὰ ζῶα, στενοτάτης κατ' αὐτὸ τῆς διεξόδου τῷ κατὰ τὴν ἀναπνοὴν ἀέρι γιγνομένης· συγκεῖται δ' ἐκ τριῶν μεγάλων χόνδρων, ὧν μέγιστος μὲν ἐστιν ὁ ἔμπροσθεν, οὗπερ καὶ ψαύομεν, ἔξωθεν μὲν κυρτὸς, ἔσωθεν δὲ κοῖλος ὑπάρχων, ὅπλῳ σκεπαστηρίῳ μάλιστα παραπλήσιος τῷ προμηκεστέρῳ, τῷ καλουμένῳ θυρεῷ· καὶ τοὔνομά γε αὐτοῦ κατὰ τὴν πρὸς τοῦθ' ὁμοιότητα θυροειδής ἐστιν· ὁ δεύτερος δὲ ὅσον ἐλάττων ὑπάρχει τούτου, τοσοῦτον τοῦ τρίτου μείζων, ἐκ μὲν τῶν ἔνδον τεταγμένος μερῶν, ἵνα περ ὁ στόμαχος· ὅσον δ' ἀποδεῖ τῷ μεγάλῳ πρὸς τὸ τελέως εἰς κύκλον περιῆχθαι, τοῦτ' αὐτὸς προστίθησι. τὰς γὰρ ὁριζούσας τὰ πλάγια μέρη πλευρὰς τοῦ θυροειδοῦς θεάσῃ διὰ παντὸς ὁμιλούσας ταῖς πλευραῖς τοῦ δευτέρου χόνδρου· τό, τε κάτω μέρος ὅλον τῷ κάτω διὰ μυῶν ἡνωμένον· τὸ δ' ἄνω πέρας ἑκατέρου τῶν χόνδρων ἀντιτέτακται, καθάπερ εἰ νοήσαις θυρεοὺς δύο ἀλλήλων ψαύοντας οὕτω ταῖς πλευραῖς, ὡς ποιῆσαί τινα μέσην χώραν. τεσσάρων δ' οὐσῶν τοῦ θυροειδοῦς γωνιῶν κατὰ τὰς συμβολὰς τῶν ὁριζουσῶν αὐτὸν τεττάρων γραμμῶν, αἱ μὲν κάτω δύο συμφύονται διὰ νευροχονδρώδους δεσμοῦ τοῖς κάτω πέρασι τῶν ταπεινῶν πλευρῶν τοῦ λαμβδοειδοῦς· ἐπίκειται δὲ τοῦτο τῷ ἄνω πέρατι τοῦ πρώτου χόνδρου, τὴν μὲν εὐ-

DE LARYNGE ET EPIGLOTTIDE.

Corpus quod ſub gena inferiore in media primarum colli partium regione conſtitutum eſt, & propenſum in faciem videtur, cum omnes norunt, tum vero etiam larynga nominant: idque frangere pancratiaſtæ conantur; ſiquidem animalia eo fracto, quamprimum ſuffocantur, quum ob eam cauſam anguſtiſſimus tranſitus reſpirando aëri efficiatur. Larynx autem ex tribus magnis cartilaginibus conſtat, quarum maxima eſt anterior, quam etiam contingimus, extrinſecus quidem convexa, intus vero cava, ſcuto maxime ſimilis, quod prælongius ſit, quod θυρεὸν vocant: unde huic cartilagini, ab hujus ſcuti ſimilitudine nomen eſt impoſitum, ut thyreoides appelletur. Secunda vero cartilago quanto minor eſt hac; tanto eſt major quam tertia, in partibus quidem internis; qua ſtomachus eſt collocatus: & quantum magnæ deficit, ut in circulum perfecte feratur, hæc adjicit. Latera enim thyreoideos, quæ partes obliquas determinant, ſemper lateribus ſecundæ cartilaginis propinqua conſpicies, & totam partem infernam inferne per muſculos conjunctam. Superior vero utriusque cartilaginis pars ita ex adverſo conſtituta eſt, ut ſi duo ſcuta ſeſe lateribus ita contingentia animo conjicias, ut media quædam regio relinquatur. Quum vero quatuor ſint thyreoideos anguli, ex connexu quatuor linearum ipſum definientium, duo inferiores finibus inferioribus humilium laterum labdoidis per vinculum nerveum & cartilagineum connectuntur: id vero fini ſuperiori primæ carti-

εὐθεῖάν τε καὶ μέσην ἑαυτοῦ γραμμὴν κατ' εὐθὺ, τῆς τε ῥάχεως ἔχων τοῦ θυροειδοῦς, καὶ τῆς ἐν τοῖς κάτω μέρεσι τῆς γλώσσης γραμμῆς· τὰς ταπεινὰς δὲ δύο πλευρὰς ἐπὶ τὰς ἄνω γωνίας ἐκτείνων τοῦ πρώτου χόνδρου. θυροειδῆ γὰρ λέγειν, ἢ πρῶτον, οὐ διοίσει. διαρθροῦνται δ' ἀλλήλοις οἱ πρῶτοι χόνδροι κατὰ τὰ πλάγια. καὶ σύνδεσμοι γάρ τινες ἐκ τοῦ πρώτου διήκουσιν εἰς τὸν δεύτερον, ὑμενώδεις τε καὶ νευρώδεις. οὗ δὲ ὁ ἐλάττων ὁ ἔνδοθεν παύεται, δύο μὲν ἐπίκεινται κυρτότητες μικραί. ἄρχεται δ' ἐντεῦθεν ὁ τρίτος χόνδρος ἁρμοττούσας ἀκριβῶς ταῖς ἐξοχαῖς αὐτοῦ κοιλότητας ἔχων, ὥστε τὴν σύνταξιν τῶν δύο χόνδρων τούτων διττὴν ἐργάζεσθαι διάρθρωσιν· ἔστι δὲ καὶ γενότερος ταύτης τῆς κάτω βάσεως ὁ δεύτερος χόνδρος, ὥστε καὶ διὰ τοῦτο καὶ τοῦ λάρυγγος ὅλου τὸ κάτω πέρας, οὗ ψαύει τῆς ἀρτηρίας, εὐρύτερόν ἐστι τοῦ ἄνω στομίου τοῦ τελευτῶντος εἰς τὴν φάρυγγα. καὶ γὰρ αὖ καὶ ὁ τρίτος χόνδρος εἰς στενὸν κομιδῇ καὶ αὐτὸς τελευτᾷ, οὗ τὸ ἄνω πέρας ἀρυταινοειδὲς οἱ πλεῖστοι τῶν ἀνατομικῶν ὀνομάζουσιν, ἀπὸ τῆς τοῦ σχήματος ὁμοιότητός τε, τῆς πρὸς αὐτὰς δὴ προχόους, ἃς καὶ ἀρυταίνας ἔνιοι καλοῦσιν. ἔστραπται δὲ καὶ τούτου τοῦ χόνδρου τὸ κοῖλον εἰς τὸν πνεύματος πόρον, [1] ὥστε οἷον αὐτόν τινα γενέσθαι τὸ συγκείμενον ἐκ τριῶν. ᾧδε μὲν ἔχει κατασκευῆς ἡ ἴδιος οὐσία τοῦ λάρυγγος· ὁ γὰρ δὴ χιτὼν ὁ ἔνδον αὐτὸν ὑπαλείφων, κοινὸς τῆς τε ἀρτηρίας ἐστὶ καὶ τοῦ στομάχου. τὴν δὲ κίνησιν αὐτοῦ κατὰ τὴν τοῦ ζῴου γίγνεσθαι προαίρεσιν ἀναγκαῖον ἦν, εἴπερ εἴς τε τὰς ἀναπνοὰς, καὶ τὰς ἐκπνοὰς, καὶ ἐπισχέσεις τῆς ὅλης ἀναπνοῆς, καὶ [2] τὰς ἐκφύσεις, καὶ τὰς φωνὰς ἔμελλεν ἔσεσθαι χρήσιμος· ἅπαντα δὲ ταῦτα βέλτιον ἦν ὑπὸ τῆς ἡμετέρας ἄρχεσθαι προαι-

1. ὥστε οἷον αὐτόν τινα γίνεσθαι] Gal. IV. 462. ὥσθ' οἷον αὐλόν τινα γίγνε-

laginis ſuperjacet, rectam & mediam ipſius lineam per ſpinæ rectitudinem habens, tum thyreoideos, tum lineæ quæ in linguæ partibus infernis eſt; duo vero latera humilia ad ſuperiores primæ cartilaginis angulos extendens: quam cartilaginem ſive thyreoidem, ſive primam appelles, nihil intereſt. Articulantur autem inter ſe primæ cartilagines partibus obliquis: atque etiam ligamenta quædam membranoſa & nervea a prima ad ſecundam perveniunt. Ubi vero minor quæ intus eſt ceſſat, duæ longæ convexitates ſuperjacent. Inde autem incipit tertia cartilago, convenientes exquiſite illius eminentiis cavitates habens, adeo ut harum duarum cartilaginum conjunctio duplicem articulationem faciat. Secunda autem cartilago anguſtior eſt, quam baſis inferior: ex quo fit, ut ora totius laryngis inferior, quæ arteriam aſperam attingit, amplior ſit orificio ſuperiore, quod in pharyngem definit. Etenim & tertia cartilago in valde anguſtum ipſa quoque definit: cujus oram ſuperiorem arytænoidem plerique anatomici nominant, quia hæc pars figuram gutturnionis afferat, quem aliqui ἀρυταίναν etiam appellant. Hujus quoque cartilaginis cavitas ad meatum ſpiritus converſa eſt, ut veluti fiſtula quædam fiat id quod ex iis tribus eſt conflatum, atque hanc quidem habet fabricam propria laryngis ſubſtantia. Tunica vero, quæ ipſi intus ſubſternitur, eſt communis & arteriæ & gulæ. Porro ejus motum ex animalis voluntate pendere neceſſe fuit, ſiquidem futurus erat ad reſpirationes, expirationes totius reſpirationis, cohibitiones, efflationes, & voces accommodatus, quæ omnia ſatius erant a noſtra voluntate proficiſci. Cartilagines vero duplices

γιγνεσθαι. αὐτὸν forte error operarum pro αὐλὸν.

2. τὰς ἐκφύσεις] Gal. cod. p. τὰς ἐκφυσήσεις. recte. ſic paſſim.

προαιρέσεως. οἱ χόνδροι δὲ διττὰς ἔχουσι τὰς διαρθρώσεις καὶ κινήσεις, [1] ἑλέρας μὲν διαστελλούσας [τε καὶ συστελλούσας αὐτοὺς,] ἑλέρας δὲ ἰὰς ἀνοιγούσας τε καὶ κλειούσας. εἰς οὖν τὰς πρώτας ἡ τοῦ πρώτου πρὸς τὸν δεύτερον ἐγένετο διάρθρωσις· εἰς δὲ τὰς δευτέρας ἡ τοῦ δευτέρου πρὸς τὸν τρίτον. περὶ μὲν οὖν τῶν χόνδρων τοῦτο εἰρήσθω. κατὰ δὲ τὴν ἔνδον χώραν ἰοῦ λάρυγγος, δι' ἧς εἴσω καὶ ἔξω τὸ πνεῦμα φέρεται, τέτακταί τι σῶμα, μήτε ἴην οὐσίαν, μήτε τὸ σχῆμα παραπλήσιον ἑτέρῳ ἰινὶ ἰῶν καθ' ὅλον ἰὸ ζῷον, ὅπερ ἔοικεν αὐλοῦ γλώτῃ μάλιστα, κάτωθέν τε καὶ ἄνωθεν αὐτὸ θεωμένῳ· λέγω δὲ, κάἰωθεν μὲν, ἵνα συνάπλουσιν ἀλλήλοις ἥῃ' ἀρῃρία καὶ ὁ λάρυγξ· ἄνωθεν δὲ, κατὰ ἰὸ στόμα τὸ γεννώμενον ὑπὸ τῶν ταύῃ περάτων, ἰοῦ τε ἀρυταινοειδοῦς χόνδρου καὶ τοῦ θυρεοειδοῦς. τοῦτο δὴ πιμελῶδες μέν ἐϛιν ἅμα καὶ ὑμενῶδες τὴν οὐσίαν, πρῶτον δὲ καὶ κυριώτατον ὑπάρχει τῆς φωνῆς ὄργανον. ἵνα γὰρ φωνήσῃ τὸ ζῷον, δεῖται πάντως καὶ τῆς κάτωθεν φορᾶς ἀθροωτέρας· δεῖται δ' οὐδὲν ἧττον ταύτης καὶ τῆς κατὰ τὸν λάρυγγα διεξόδου ϛενοτέρας, καὶ οὐχ ἁπλῶς γε ϛενοτέρας, ἀλλὰ κατὰ βραχὺ μὲν ἐξ εὐρέος εἰς ϛενὸν ἀγομένης, καὶ κατὰ βραχὺ δὲ ἐκ ϛενοῦ πάλιν εὐρυνομένης, ὡς ἐν τοῖς περὶ φωνῆς δείκνυται. ὅπερ ἀκριβῶς ἐργάζεται τουτὶ τὸ σῶμα τὸ προκείμενον ἐν τῷ λόγῳ νῦν, ὃ δὴ γλωττίδα τε καὶ γλῶτταν ὀνομάζω λάρυγγος. [2] οὐ μόνον δ' εἰς τὸ τῆς φωνῆς ὄργανον ἀναγκαῖον τῷ λάρυγγι τουτὶ τὸ σῶμα τῆς γλωττίδος, ἀλλὰ καὶ τῇ καλουμένῃ καταλήψει τοῦ πνεύματος. ὀνομάζουσι δ' οὕτως, οὐχ ὅταν ἀπνευστὶ μόνον ἔχωμεν, ἀλλ' ὅταν ἅμα τῷ συϛέλλειν ἐκ παν-

1. ἑτέρας μὲν διαϛελλούσας, ἑτέρας δὲ τὰς ἀνοιγούσας τε καὶ κλειούσας] Gal. IV. 463. ἑτέρας μὲν τὰς διαϛελλούσας τε καὶ συϛελλούσας αὐτοὺς, ἑτέρας δὲ τὰς &c. τε καὶ συϛελλούσας αὐτοὺς agnoscit etiam Rasarius: ideo in textum

ces habent articulationes & motus: alios qui eas dilatent & comprimant; alios qui easdem claudant atque aperiant. Atque ad priorum motuum conſtitutionem primæ ad ſecundam facta eſt articulatio; ad ſecundorum vero, ſecundæ ad tertiam. Ac de cartilaginibus hæc dicta ſint nobis. In ſpatio autem laryngis interno, per quod ſpiritus foras & intus fertur, corpus quoddam eſt poſitum, quod neque ſubſtantia neque figura cuiquam eorum, quæ in toto animali ſunt, ſimile eſt; ſed linguæ alicujus fiſtulæ eſt ſimile, ſi ſupernam infernamque ejus partem intuearis: infernam dico, ubi arteria & larynx inter ſe connectuntur; ſupernam vero, ad orificium, quod a finibus arytænoideos cartilaginis & thyreoideos, qui ibi ſunt, efficitur, id quod adipatæ & membranoſæ ſubſtantiæ eſt. Cæterum princeps & maxime præcipuum vocis inſtrumentum eſt: nam ut vocem edat animal, indiget omnino ea ſpiritus motione, quæ ab infernis partibus repente ſimul erumpat; indigetque nihilominus hac, etiam anguſtiore tranſitu, qui in larynge eſt: non tamen ſimpliciter anguſtiore, ſed qui paulatim ex amplo ad anguſtius tendit, paulatimque ex anguſto amplificatur, ut in libris de voce fuit oſtenſum: id, quod plane facit corpus id, quo de agitur, quod modo lingulam & laryngis linguam voco. Cæterum hoc corpus lingulæ non modo laryngi ad vocem neceſſarium eſt, ſed etiam ad ſpiritus cohibitionem, quam vocant. Ita autem nominant non ſolum quum non reſpiramus, ſed

tum recepi. Vid. Gal. 464. 465. ubi omnes hi motus explicantur.

2. *οὐ μόνον δ' εἰς τὸ τῆς φωνῆς ὄργανον*] Gal. IV. 465. *οὐ μόνον δ' εἰς τὸ τῆς φωνῆς ἔργον.* recte. ſic paulo infra, *εἰς ὅπερ ἔργον οὐ σμικρὸν συντελεῖ τῆς προκειμένης γλωττίδος ἡ φύσις.*

παντὸς μέρους τὸν θώρακα, τοὺς μῦς ἐντείνωμεν σφοδρῶς, ὅσοι καθ' ὑποχόνδριά τε καὶ τὰς πλευρὰς τετάχαται. βιαιοτάτη γὰρ ἐνέργεια τηνικαῦτα τοῦτε θώρακος ἅπαντος γίνεται, καὶ τῶν κλειόντων τὸν λάρυγγα μυῶν. ἀντέχουσι γὰρ βιαίως οὗτοι ὠθουμένῳ τῷ πνεύματι, τὸν ἀρυταινοειδῆ κλείοντες χόνδρον, εἰς ὅπερ ἔργον οὐ σμικρὸν συντελεῖ τῆς προειρημένης γλωττίδος ἡ φύσις. [1] εἰς ταὐτὸν γὰρ αὐτῆς ἔρχεται τὰ μόρια τῶν ἀριστερῶν καὶ τῶν δεξιῶν, ὡς συμπεσεῖν ἀλλήλοις ἀκριβῶς, καὶ κλεῖσαι τὸν πόρον. εἰ δέ τι σμικρὸν ἄκλειστον ὑπολειφθείη, οὐδὲ τοῦτο ἀπρονόητον παρῶπται τῇ φύσει, [2] τρῆμα καθ' ἑκάτερον μέρος τῆς γλωττίδος ἐνεργασαμένης, καὶ ὑποθείσης τῷ τρήματι κοιλίαν ἔνδον οὐ σμικράν. ἐπειδὰν μὲν οὖν εὐρείαις ὁδοῖς ὁ ἀὴρ χρώμενος εἰσίῃ τ' εἰς ζῶον, ἐξίῃ τ' αὖθις, οὐδὲν εἰς τὴν κοιλίαν παρωθεῖται· [3] φραχθείσης δὲ τῆς διεξόδου, στενοχωρούμενος ὠθεῖται βιαίως πρὸς τὰ πλάγια, καὶ τὸ τοῦ τρήματος τῆς γλωττίδος ἀνοίγνυσι στόμιον, [4] ὃ τέως ἐκέκλειστο τῶν χειλῶν [5] ἐμπεπηγμένων· πληρωθεισῶν δὲ πνεύματος τῶν ἐν τῇ γλώττῃ τοῦ λάρυγγος κοιλιῶν, ἀποχεῖσθαι μὲν δήπου τὸν ὄγκον ἀναγκαῖον εἰς αὐτὸν τοῦ πνεύματος πόρον· ἀκριβῶς δὲ στενοῦσθαι, κἂν εἰς μικρόν τι πρόσθεν ἀνέῳκτο· κλειομένου δ' οὕτως ἀκριβῶς τοῦ λάρυγγος, ὡς μηδὲ τὸ βιαίως ἐκθλιβόμενον ὑπὸ τοῦ θώρακος πνεῦμα διοίγειν αὐτὸν, οὐ χρὴ ζητεῖν αἰτίαν ἑτέραν τοῦ μὴ φέρεσθαι τὸ ποτὸν εἰς τὸν πνεύμονα. τὴν γὰρ ἐπιγλωττίδα προμηθὴς ἡ φύσις οἷον ἐπίθημά τι προύθηκε τοῦ κατὰ τὸν λάρυγγα στόματος, ἑστηκυῖαν μὲν ὀρθὴν ἐν τῷ πρόσθεν ἅπαντι χρό-

1. εἰς ταὐτὸν γὰρ αὐτῆς ἔρχεται τὰ μόρια τῶν ἀριστερῶν καὶ τῶν δεξιῶν] Gal. IV. 465. εἰς ταὐτὸν γὰρ αὐτῆς ἔρχεται τὰ μόρια, τό τε ἐκτὸς ἀριστερῶν, καὶ τὸ τῶν δεξιῶν. certe melius.

2. τρῆμα καθ' ἑκάτερον μέρος τῆς γλωττίδος ἐνεργασαμένης, καὶ ὑποθείσης τῷ τρήματι] Gal. ead. p. τρῆμα

ſed quum præterquam quod thoracem ex omni parte contrahimus, musculos etiam omnes qui ad hypochondria & coſtas ſunt, vehementer intendimus: violentiſſima enim tunc exactio tum thoracis totius, tum claudentium larynga musculorum: hi namque magna vi pulſo ſpiritui obſiſtunt, arytæneoidem cartilaginem claudentes. Ad quam actionem non parum etiam prædictæ lingulæ natura conducit: nam ipſius particulæ tum dextræ tum ſiniſtræ in idem coëunt, adeo ut ſibi ipſæ exquiſite incidant, & meatum occludant. Quod ſi parum quidpiam apertum relinquatur, ne id quidem improvidum manet, quum natura foramen in utraque lingulæ parte unum fecerit, & foramini ipſi parte interna ventriculum non parvum appoſuerit: quumque aër vias amplas nactus in animal ingreditur, rurſusque exit, nihil in ventrem propellitur. Obſtructo autem tranſitu, ibi aër obſtructus violenter pellitur in obliquum, ac foraminis lingulæ orificium aperit, quod labiis admotis claudebatur: impletis autem ſpiritu ventriculis, qui in lingua laryngis ſunt, molem in ſpiritus meatum diffundi neceſſe eſt, & exquiſite ipſum anguſtari, etiamſi parum antea apertum erat. Larynge vero ita diligenter occluſo, ut ne ſpiritus quidem, qui a thorace vi exprimitur, eum recludat, non eſt alia cauſa indaganda, cur potus in pulmonem non feratur: natura enim provide laryngis orificio epiglottida veluti operculum quoddam admovit, quæ quidem omni alio tempore, quo reſpirant animantes,

μα καθ' ἑκάτερον μέρος ἐν ἐργασαμένῃ, καὶ ὑποθείσῃ δὲ τῷ τρήματι. recte; & ita Raſarius legiſſe videtur.

3. φραχθείσης δὲ τῆς διεξόδου] male Morel. Edit. φθαρείσης &c.

4. ὅ τέως ἐκέκλειστο] Edit. Morel. ὅ, τι ὡς ἐκέκλειστο. perperam.

5. ἐμπεπηγμένων] Gal. ead. p. ἐπεπτυγμένων. utraque ferri poteſt lectio.

I, διὰ

χρόνῳ, καθ' ὃν ἀναπνεῖ τὰ ζῶα· καταπίπτουσαν δ' ἐπὶ τὸν λάρυγγα, καταπινόντων ὁτιοῦν. αὐτὸ γὰρ τὸ καταπινόμενον, ἅτε πρῶτον μὲν ἐπιπίπτον αὐτῆς τῇ ῥίζῃ, μετὰ ταῦτα δὲ κατὰ τοῦ νώτου φερόμενον, ἀναγκάζει κατακλίνεσθαί τε καὶ καταπίπτειν αὐτήν· ἡ Φύσις δ' ἐποιήσατο τὴν ἰσχυρὰν ἐπίφυσιν, οὐχ ὑπὲρ τοῦ μηδ' ὅλως ἐμπίπτειν μηδὲν, ἀλλ' ὑπὲρ τοῦ μὴ πολὺ, μηδ' ἀθρόον. καταφέρεται γοῦν τι τοῦ πόματος ὀλίγον εἰς τραχεῖαν ἀρτηρίαν, ἐν κύκλῳ περὶ τοὺς χιτῶνας αὐτῆς ἑλιβόμενον, [1] διὰ μέσης ὁδοιπορούσης τῆς εὐρυχωρίας, καὶ τοσοῦτον ἔμεινε τὸ ὑγρὸν, ὅσον εὐθὺς ἀναρπάζεσθαι διαβρέχον τὸν πνεύμονα· χονδρώδους δ' ὄντος τοῦ λάρυγγος καὶ περιφεροῦς πανταχόθεν, ἀναγκαῖον γίγνεσθαι τῷ στομάχῳ στενοχωρίαν ἐν τῇ παρόδῳ τῶν σιτίων· πῶς οὖν οὐ στενοχωρεῖται καταπινόντων· πῶς δὲ ἄλλως ἢ κατασπωμένου. ὑπαλλάττεται γὰρ οὕτως ἡ θέσις αὐτῶν, ὥστε τὴν μὲν ἀρχὴν τοῦ στομάχου κατὰ τὴν τραχεῖαν ἀρτηρίαν γίγνεσθαι· τὸν λάρυγγα δ' ἀνατρέχειν εἰς τὴν φάρυγγα. δεῖ δὲ γινώσκειν ὡς ὃν τρόπον ὑπὸ τῶν σιτίων ἡ ἐπιγλωττὶς εἰς τὸν τοῦ λάρυγγος ἀνακλίνεται πόρον, οὕτως ὑπὸ τῶν ἐμουμένων [2] ἀρυταινοειδὴς χόνδρος. ἔστραπται γὰρ κἀκεῖνος εἰς τὴν εὐρυχωρίαν τοῦ λάρυγγος, [3] ὡς τῇ ῥύμῃ τῶν ἀναφερομένων ἐκ τοῦ στομάχου τοῖς κατὰ τὸ νῶτον αὐτοῦ προσπίπτουσα, ῥᾳδίως εἰς τὴν εἰκουσαν ἀνατρέπειν χώραν ὅλον τὸν χόνδρον.

ΠΕΡΙ

1. διὰ μέσης ὁδοιπορούσης] Gal. IV. 473. οὐ διὰ μέσης ὁδοιπορούσης. recte: & sic Rasarius vertit. Gal. iterum V. 246. οὐδὲ διὰ μέσης τῆς εὐρυχωρίας τοῦ ὀργάνου φερόμενον.

2. ἀρυταινοειδὴς χόνδρος] Gal. ead. p. 6

mantes, recta est: quum vero aliquid deglutitur, ipsa laryngi accumbit. Id enim quod transglutitur, ceu primum ejus radici incidens, postea vero dorso invectum, inclinare ipsam cogit, & collabi. hancque productionem natura est fabricata, non quo nihil prorsus incideret, sed ne multum, neve affatim: nam modicum potionis in asperam arteriam importatur in orbem circum ejus tunicas expressum, non per mediam capacitatem iter faciens: tantaque hujus humoris est copia, ut repente ad pulmonem madefaciendum arripiatur. Sed quum larinx cartilagineus rotundusque ex omni parte sit, angustari stomachum in transitu ciborum necesse est. Qui fit igitur, ut stomachus non arctetur nobis transglutientibus? An aliter quam ut cibus deorsum trahatur; larynx vero sursum recurrat? siquidem ita eorum positio commutatur, ut stomachi initium ad asperam arteriam sit; larynx vero sursum ad fauces recurrat. Scire autem convenit, quomodo epiglottis in laryngis meatum a cibis compellitur, ita ab iis, quæ evomuntur, cartilaginem arytænoidem: vergit enim & ea in laryngis capacitatem, ut impetu eorum quæ sursum feruntur e stomacho, dorso ipsius incidens, totam cartilaginem in cedentem locum facile convertat.

DE

p. ὁ ἀρυταινοειδὴς χόνδρος. melius.

1. ὡς τῇ ῥύμῃ &c.] Gal. ead. p. ὥσθ' ἡ ῥύμη τῶν ἀναφερομένων ἐκ τοῦ στομάχου τοῖς κατὰ τὸ νῶτον αὐτοῦ προσπίπτουσα, ῥᾳδίως εἰς τὴν εἴκουσαν ἀνατρέπει χώραν ὅλον τὸν χόνδρον. Ita legend. ut sententia & verba sibi constent.

ΠΕΡΙ ΤΟΥ ΓΑΡΓΑΡΕΩΝΟΣ.

Ο γαργαρεὼν, εἰς μέγεθος μὲν καὶ κάλλος τῇ φωνῇ συντελεῖ. περισχίζεται δ' αὐτῷ πρότερον ὁ εἰσιὼν ἀὴρ, καὶ θραύεται τῆς τε ῥύμης αὐτοῦ τὸ σφοδρὸν, καὶ διὰ τοῦτο καὶ τῆς ψύξεως. ἔνιοι γοῦν τῶν ἐκτμηθέντων αὐτὸν ἄχρι βάσεως, οὐ μόνον εἰς τὴν φωνὴν ἐβλάβησαν ἐπιδήλως, ἀλλὰ καὶ ψυχροτέρας τῆς εἰσπνοῆς ἤσθοντο. καὶ μέντοι καὶ ψυχθέντες τῷ κατὰ τὸν πνεύμονα καὶ τὸν θώρακα, πολλοὶ τῶν τοιούτων ἀπώλοντο. καὶ χρὴ μὴ προπετῶς ἀποτέμνειν αὐτὸν, μηδ' ὡς ἔτυχεν, ἀλλ' ἀπολιπεῖν τι τῆς βάσεως μέρος. οὐ σμικρὰ δὲ συντελεῖ τοῦτο τὸ μόριον καὶ πρὸς τὸ μήτε κόνιν ἐμπίπτειν τῷ λάρυγγι, μήτε ἄλλην τινὰ οὐσίαν τοιαύτην.

ΠΕΡΙ ΤΗΣ ΤΡΑΧΕΙΑΣ ΑΡΤΗΡΙΑΣ.

ΕΣΤΙ τὸ μόριον ἁπλοῦν ἐν τῷ τοῦ ζώου σώματι, σκληρότερον μὲν τῶν ἄλλων ἁπάντων, μόνου δὲ τοῦ ὀστοῦ μαλακώτερον, ᾧ τοὔνομα σχεδὸν ἅπαντες ἰατροὶ χόνδρον ἐπέθεντο. τούτου τοῦ χόνδρου πλεῖστον ἡ φύσις εἰς τὴν κατασκευὴν τῆς τραχείας ἀρτηρίας παρεσκευασμένη, κατέκαμψεν εἰς ἀκριβῆ κύκλου περιφέρειαν, ὥστε ἔξωθεν μὲν εἶναι τὸ κυρτὸν, οὗ δὴ καὶ ψαύομεν, ἔσωθεν δὲ τὸ κοῖλον· εἶτ' ἐφεξῆς [1] ἐν τῷ τοῦ τραχήλου μήκει τεθεῖσα, καὶ πᾶν τὸ μεταξὺ τοῦ λάρυγγός τε καὶ πνεύμονος ἐν τούτῳ συμπληρώσασα, συνέφυσεν αὐτοὺς ἰσχυροῖς δεσμοῖς ὑμενώδεσιν, [2] ὁμοιοτάτοις τοῖς τῶν καράβων ὀστράκοις. ὅσον δ' αὐ-

1. ἐν τῷ τῦ τραχήλυ μήκει τεθεῖσα] Apud. Gal. IV. 451. deeſt τε. poteſt etiam ſumi ut particula copulativa: nam ſequitur καὶ.

2. ὁμοιο-

DE GURGULIONE.

Gurgulio ad vocis magnitudinem atque elegantiam facit: aër enim ingrediens ab ipso prius inciditur & impetus ipsius vehementia frangitur, & ob id etiam vis frigoris retunditur: proinde nonnulli quibus ad basin usque fuerat amputatus, non nodo noxam in voce perspicue senserunt, verum etiam frigidiorem inspirationem, ex quibus plerique pulmone aut thorace refrigerato perierunt. Quocirca non est temere, neque ut fors ferat præcidendus, sed pars quædam basis relinquenda est. Cæterum gurgulio non mediocriter confert, ne pulvis aut alia quæpiam materia generis ejusdem in laryngem cadat.

DE ASPERA ARTERIA.

Particula quædam simplex in corpore animalis est, quæ aliarum omnium est durissima quidem, sed solo osse est mollior, quam omnes propemodum medici cartilaginem vocaverunt: qua quidem cartilagine plurima, natura usa ad asperam arteriam construendam, totam in exquisitum circuli ambitum contorsit, ut ejus pars convexa, quam etiam tangimus, extra promineat; intus vero cava sit; post autem in longitudine colli sit continuata serie constituta, & toto eo spatio quod inter laryngem & pulmonem interjacet, interim referto, validis ligamentis membranosis eos connexuit, quæ ostracis locustarum sunt simillima; quæ vero eorum pars erat sub-

2. ὁμοιοτάτοις τοῖς τῶν καράβων ὀστράκοις] Gal. ead. p. ὁμοιοτάτοις τοῖς τῶν κοράκων ὀστράκοις. male κοράκων. vid. Hofman. Comment. in h. l. in variant. Edit. Charter. καράβων. secuti sumus Hofman. & in versione

δ' αὐτῶν μέρος ὑποκειμένου τοῦ στομάχου [1] ψαύσειν ἔμελλε, τοῦτ' οὐκ ἔτι χόνδρον ἐποιήσατο, ἀλλὰ λείπει μέν τι τῷ κύκλῳ κατὰ ταῦτα τὰ μέρη, καὶ ἔστιν ὥσπερ σίγμα τῶν χόνδρων ἕκαστος. κοινῇ δὲ κατά τε τούτων τῶν δεσμῶν καὶ τῶν ἄλλων τῶν κυκλοτέρων, καὶ προσέτι τῶν χόνδρων αὐτῶν, ἄλλός τις ἔσωθεν ἐπιτέταται χιτὼν, ἀκριβῶς κυκλοτερὴς, ὑπαλείφων ἅπαντα, πυκνὸς μὲν καὶ γεγανὸς, εὐθείας δὲ κατὰ τὸ μῆκος ἔχων τὰς ἴνας, οὗ καὶ πρόσθεν οἰδά που μνημονεύσας, ὡς ἔστι συνεχὴς τῷ τε τὸ στόμα πᾶν ὑπαλείφοντι, καὶ τῷ τοῦ στομάχου τε καὶ ὅλης τῆς γαστρὸς ἔνδοθεν. [2] καὶ μήν γε καὶ πάντ' ἔξωθεν αὐτὰ περιλαμβάνει τις ὑμὴν, οἷον ἀμφίεσμά τι καὶ περίβλημα τῆς ὅλης ἀρτηρίας. ᾧδὶ μὲν ἔχει Φύσεως ἡ κατὰ τὸν τράχηλον ἀρτηρία ἰδὶ ἧς εἰσπνεῖ τε καὶ αὖθις ἐκπνεῖ, καὶ φωνεῖ τε καὶ ἐκφυσᾷ τὰ ζῶα· καθ' ὃ δὲ πρῶτον ὑπερβᾶσα τὰς κλεῖς ἐν τῇ τοῦ θώρακος εὐρυχωρίᾳ γίγνεται, καὶ σχίζεται κατὰ τοῦτο, καὶ πάντη τοῦ πνεύμονος φέρεται μετὰ τῶν ἀπὸ τῆς καρδίας ἀγγείων εἰς ἅπαντας αὐτοῦ τοὺς λοβοὺς διανεμομένη· οὐ μὴν ἐξίσταταί γε τῆς ἄνωθεν Φύσεως, οὐδὲ παραλλάττει κατά τι τῶν ἀποβλαστημάτων αὐτῆς οὐδέν, ἀλλ' ὁμοίως ἅπαντες χόνδροι, πολλοὶ σιγματοειδεῖς ὑμενώδεσι δεσμοῖς συνεχόμενοι, μέχρι τῶν ἐσχάτων λοβῶν τοῦ σπλάγχνου διαφυλάττονται. τοῦτο μόνον ἐν τῷ πλεύμονι τὸ ἀγγεῖον ἀκριβῶς ἐστὶν αἵματος καθαρὸν, ἔν γε τῷ κατὰ φύσιν ἔχειν τὸ ζῶον· ἐπειδὰν δέ τις ἡ ῥῆξις, ἢ ἀναστόμωσις, ἢ διάβρωσις ἀγγείων κατὰ τὸν πνεύμονα γένηται, τότε ἐκχεῖται μέν τι καὶ εἰς τήνδε τὴν ἀρτηρίαν αἵματος· ἐνοχλεῖ δὲ τῷ πνεύματι καταλαμβάνον αὐτοῦ τὰς ὁδούς· καὶ οὕτως ἤδη,

ne pro *scarabeorum* vertimus *locustarum*.

1. ψαύ-

ſubjectum ſtomachum contactura, eam non item cartilaginem fecit: ſed hac parte deeſt quidpiam ad circulum efficiendum, & unaquæque cartilago figuram literæ ſigma C. refert. Communiter autem his ligamentis & aliis orbiculatis, & ipſis præterea cartilaginibus alia quædam tunica intrinſecus obtenſa eſt, quæ plane rotunda eſt, & omnibus ſubſtrata, denſa illa quidem & conſtricta, ſed fibras in longitudine rectas habens; quam ſcio me ante commemoraſſe, continuam eſſe ei, quæ toti ori & ſtomacho, ac toti ventriculo intrinſecus ſubſternitur. Atque etiam hæc omnia extrinſecus complectitur membrana quædam, velut indumentum quoddam, & arteriæ totius amiculum. Hæc igitur natura eſt ejus arteriæ quæ in collo ineſt, per quam inſpirant, & item exſpirant animalia, vocemque edunt atque efflant. Ubi vero primum claves prætergreſſa in thoracis amplitudinem pervenit, ibi dividitur, & in omnem pulmonis partem fertur cum vaſculis, quæ a corde oriuntur, in omnes ejus lobos diſtributa. Et tamen non discedit a natura, quam parte ſuperna obtinet: neque omnes ejus ſoboles ulla in re diſſident, ſed ſimiliter omnes cartilagines, multæ ſigma formam referentes, membranoſis ligamentis contentæ usque ad extremos viſceris lobos conſervantur. Hoc ſolum vas in pulmone eſt exacte vacans ſanguine, quum animal ſecundum naturam ſit affectum. At ſi ruptio aliqua, aut oris apertio, aut vaſis eroſio in pulmone contingat, tunc aliquid ſanguinis in hanc etiam arteriam effunditur, qui ſpiritui moleſtus eſt, ejus vias occupans: eodemque modo tuſſis habet jam animal infeſtum, & ſanguis ſurſum

1. ψαύσειν ἔμελλε] Gal. IV. 451. ψαύειν ἔμελλε. utrumque recte.

2. καὶ μὴν γε καὶ] Gal. ead. p. καὶ μέν γε καὶ. melius.

ἤδη, βήττει μὲν τὸ ζῶον, ἀναφέρεται δὲ τὸ αἷμα διὰ τῆς φάρυγγος εἰς τὸ στόμα. ὁ δ' εἰρημένος χιτὼν, ἐν μὲν τῷ στομάχῳ τῇ καταπόσει συνεργεῖν ἐδείκνυτο τὰ μέγιστα· κατὰ δὲ τὴν ἀρτηρίαν, ἔνδοθεν μὲν τοὺς χόνδρους ὑπαλείφει, [1] καὶ αὐτὴν ἀνασπᾷ μετὰ τοῦ λάρυγγος εἰς τὴν φάρυγγα, καταπίνοντος τοῦ ζώου τρόπον ὁμοιότατον τῷ κατὰ τὰ κηλώνια καλούμενα. ταύτης ἐστὶ τῆς φύσεως ἡ ἀρτηρία τοῦ πνεύμονος, ἡ ἐκ τῶν βρογχίων συγκειμένη· καλεῖν γὰρ οὕτως ἔθος τοῖς ἰατροῖς τοὺς χόνδρους αὐτῆς, ὥσπερ γε καὶ ὅλην μὲν βρόγχον, κεφαλὴν δὲ τὸ ἄνω πέρας αὐτῆς, ᾧπερ δὴ καὶ λάρυγξ ὄνομα.

ΠΕΡΙ ΤΟΥ ΥΠΕΖΩΚΟΤΟΣ ΚΑΙ ΤΩΝ ΔΙΑΦΡΑΤΤΟΝΤΩΝ ΥΜΕΝΩΝ ΤΟΝ ΘΩΡΑΚΑ.

Ὁ ὑπεζωκὼς ὑμὴν οὐσίαν τε τὴν αὐτὴν ἔχει τῷ περιτοναίῳ, καὶ χρείας τὰς αὐτὰς παρέχει πᾶσι τοῖς τοῦ πνεύματος ὀργάνοις, ὥσπερ ἐκεῖνο τοῖς τῆς τροφῆς. ὀνομάζεται δὲ ὑπεζωκὼς ὑμὴν, ἐπειδὴ τὰς πλευρὰς ὅλας ὑπέζωκεν ἔσωθεν, λεπτότατος ὢν ὥσπερ ἀράχνιον, [2] ὁμοιομερής τε κατὰ πᾶν ἑαυτῷ· καὶ τὰς μὲν πλευρὰς ὑπέζωκεν, ἀμφίεσμα δ' ἐστὶν, οἷον χιτών τις ἁπάντων τῶν πνευματικῶν ὀργάνων, ἐπιτεινόμενος πᾶσι τοῖς ἔνδοθεν τοῦ θώρακος μορίοις, ὡς τὸ περιτόναιον ἐλέχθη τοῖς κάτω τῶν φρενῶν. ἐξ αὐτοῦ δὲ καὶ οἱ διαφράττοντες ὑμένες τὸν θώρακα, γεννῶνται, κατὰ τὸ μῆκος ἄνωθεν καταφερόμενοι· καταφύονται δ' ἀσφαλῶς, ὀπίσω μὲν εἰς τοὺς τῆς ῥάχεως σπονδύλους, ἔμπροσθεν δ' εἰς τὸ

1. καὶ αὐτὴν ἀνασπᾷ] Gal. IV. 455. καὶ αὐτοὺς &c. quod melius videtur.
2. ὁμοια-

ſurſum per pharynga ad os fertur. Atque hanc quidem tunicam in transglutiendo maxime opitulari ſtomacho oſtendimus; in aſpera vero arteria etiam cartilaginibus parte interna ſubſterni, ipſasque ſurſum, dum animal transglutit, cum larynge ad pharynga trahere modo ſimillimo, quo inſtrumenta, quæ ciconiæ dicuntur. Talis quidem pulmonis arteriæ eſt natura, quæ ex bronchiis conſtat: ſic enim appellare ejus cartilagines medici conſueverunt, quemadmodum & ipſam totam, bronchon: & caput, ſummam ejus partem, quæ etiam larinx nominatur.

DE SUCCINGENTE, ET THORACEM INTERSEPIENTIBUS MEMBRANIS.

Membrana ſuccingens eandem habet cum peritonæo ſubſtantiam, & eundem uſum omnibus ſpiritus inſtrumentis, non ſecus quam illud cibi præſtat. Succingens vero membrana vocatur, quia coſtas totas intrinſecus ſuccingit, eſtque araneæ modo prætenuis, & ex toto ſibi ſimiles coſtas ſuccingit: eſt quidem vero indumentum, veluti quædam tunica omnium ſpiritus inſtrumentorum, & omnibus intra thoracem partibus obducitur, quemadmodum peritonæum his quæ infra ſeptum habentur, obtenditur. Atque etiam ab ipſa naſcuntur membranæ quæ thoracem intercipiunt, quæ per ejus longitudinem ſuperne deorſum feruntur. Tuto autem infiguntur, parte quidem poſteriore ſpinæ vertebris; ante-

2. ὁμοιομερὴς τε κατὰ πᾶν ἑαυτῷ] Gal. IV. 148. eadem lectio. *ex toto ſibi ſimilis.* Raſarius male vertit.

τὸ κατὰ στέρνα μέσον ὀστοῦν, [1] οὗ πέρας ἐστὶ, κάτω μὲν ὁ ξιφοειδὴς ὀνομαζόμενος χόνδρος, ὁ κατὰ τὸ στόμα τῆς γαστρός· [2] ἄνωθεν δὲ τῶν κλειδῶν ἡ σύνταξις. ἡ δὲ χρεία τῶν ὑμένων, ἡ πρώτη μὲν καὶ μεγίστη, δύο κοιλίας ἐργάσασθαι τοῦ θώρακος, ἵνα εἰ καί ποτε μεγάλου τραύματος ἐν θατέρῳ μέρει γενηθέντος, ἀπόλοιτο τὸ κατ' ἐκεῖνο μέρος ἔργον τῆς ἀναπνοῆς, ἡ λοιπὴ κοιλία σωζομένη, τὸ γοῦν ἥμισυ τῆς ἐνεργείας διαφυλάττῃ. διὰ τοῦτο οὖν [3] ἡμίφωνον καὶ ἡμίπνουν ἐπὶ τοῖς εἴσω διασχοῦσι τραύμασι μεγάλοις ἐν θατέρῳ μέρει τοῦ θώρακος, εὐθὺς γίνεται τὸ ζῷον· ἄφωνον δὲ καὶ τελέως ἄπνουν, εἰ ἀμφότεραι συνῃρθρεῖεν αἱ κοιλίαι. ταύτην τοίνυν μεγάλην χρείαν, οὕτω ἐχομένων τῷ ζώῳ τῶν διαφραττόντων ὑμένων τὴν θώρακα, καὶ διὰ τοῦτο μάλιστα γεγονότων, ἡ φύσις κατεχρήσατο, καὶ πρὸς τὴν ὡς ἀμφιεσμάτων τε ἅμα καὶ συνδέσμων ἐξ αὐτῶν ὠφέλειαν, τοῖς ἐντὸς τοῦ θώρακος ὀργάνοις ἅπασιν ἐτεχνήσατο. καὶ γὰρ καὶ τὰς ἀρτηρίας τὰς ἐνταῦθα, καὶ τὰς φλέβας, καὶ τὰ νεῦρα, καὶ τὸν οἰσοφάγον, ἤδη δὲ καὶ αὐτὸν ὅλον τὸν πνεύμονα [4] συνδοῦσι τῷ παντὶ θώρακι, καὶ σκέπουσιν οἱ ὑμένες οἵδε περιτεινόμενοι.

ΠΕΡΙ ΠΝΕΥΜΟΝΟΣ.

ΤΗΝ τοῦ θώρακος ὁ πνεύμων ἐκπεπλήρωκεν εὐρύτητα, φω-

1. οὗ πέρας ἐστὶ] Gal. IV. 448. οὗπερ ἐστι τέλος. Attendat lector, bene hic loci describitur Mediastinum. vid. Vesal. VI. 3. Riolan. Anthropogr. III. 6 Gal. IV. 418. 124.

2. ἄνωθεν δὲ τῶν κλειδῶν ἡ σύνταξις] Gal. IV. 418. ἄνω δὲ τῶν κλειδῶν ἡ σύνταξις. Sic præcedit κάτω μὲν ὁ ξιφοειδὴς &c. delendum est itaque θεν in ἄνωθεν.

3. ἡμίφωνον καὶ ἡμίπνουν] Gal. IV. 419. ἡμίφωνον μὲν καὶ ἡμίπνουν. melius; sequitur enim δὲ, ἄφωνον δὲ καὶ

anteriore vero, medio offi pectoris: cujus extrema ora inferna eſt cartilago, quæ ab enſis ſimilitudine xiphoides nominatur, quæ ad os ventriculi eſt; ſuperna vero, clavium compago. Membranarum vero prima & maxima utilitas eſt, ut duos ventres thoracis efficiant, ut ſi forte magno vulnere in alterutram ejus partem accepto, reſpirationis munus ejus partis perierit, alter venter incolumis dimidium actionis conſervet. Quamobrem a magnis vulneribus, intro in alterutram pulmonis partem penetrantibus, animal a dimidia parte vocis & reſpirationis repente privatur: voce autem ac reſpiratione omnino deſtituitur, ſi uterque venter fuerit confoſſus. Quum igitur hanc adeo magnam utilitatem intercipientes thoracem membranæ mortalibus afferant, ejusque potiſſimum rei cauſa extiterint, natura etiam abuſa eſt ad utilitatem ex ipſis tanquam operimentis ac ligamentis, omnibus quæ thorace continentur inſtrumentis tribuendam: nam & arterias quæ in eo ſunt, & venas, & nervos, & oeſophagum, & denique totum ipſum pulmonem toti thoraci colligant, & undique obductæ contegunt.

DE PULMONE.

Thoracis capacitatem implevit pulmo vocis ac reſpirationis in-

καὶ τελέως ἄπνουν, ubi pro καὶ Gal. habet ἤ: ἄφωνον δὲ τελέως ἢ ἄπνουν. ſed noſtram veram eſſe Gal. auctoritate confirmabitur p. 173. ejus verba hæc ſunt: τμηθέντος γὰρ ἀξιόλογον τομὴν τὰς πλευρὰς ὑπεζωκότος ὑμένος, καθ' ἓν ὁτιοῦν μεσοπλεύριον, ἡμίπνουν τ' αὐτικα, καὶ ἡμίφωνον γίνεται τὸ ζῶον. εἰ δὲ καὶ τὸ ἕτερον μέρος τοῦ θώρακος ὁμοίως γε τμηθείη, ἄπνουν τε καὶ ἄφωνον.

4. συνδοῦσι τῷ πάντι θώρακι] Gal. ead. p. συνδοῦσι τε τῷ πάντι θώρακι. melius. ſequitur enim καὶ σκέπουσι.

φωνητικὸν ἅμα καὶ ἀναπνευστικὸν ὄργανον γενόμενος, τὴν ἀρχὴν τῆς κινήσεως ἔχων παρὰ τοῦ θώρακος. ἡ δὲ χρεία τῆς ἀναπνοῆς διὰ τὴν καρδίαν γίγνεται, τὸ μέν που δεομένης καὶ αὐτῆς τοῦ ἀέρος τῆς οὐσίας, τὸ δὲ πλεῖστον ὑπὸ θερμότητος ζεούσης ἀναψύχεσθαι ποθούσης· ἀναψύχει δ' αὐτὴν, ἡ μὲν εἰσπνοὴ χορηγίᾳ ποιότητος ψυχρᾶς· ἡ δ' ἐκπνοὴ, τοῦ ζέοντος ἐν αὐτῇ καὶ οἷον συγκεκαυμένου καὶ λιγνυώδους ἀποχύσει. διὰ τοῦτο οὖν καὶ διπλῆν ἔχει τὴν κίνησιν [1] ἐξ ἐναντίων συγκειμένην, ἕλκουσαν μὲν, ἐπειδὰν διαστέλληται· κενουμένην δ', ἐν τῷ συστέλλεσθαι. σκοπεῖσθε δέ μοι καὶ ταῦθα τὴν πρόνοιαν τῆς Φύσεως. ἐπειδὴ γὰρ ἄμεινον ἡμῖν ἦν ἔχειν φωνὴν, ἐδεῖτο δ' ἐξ ἀνάγκης αὐτῆς ἡ γένεσις ἀέρος, ὅσον ἔμελλεν ἄλλως ἀργὸν καὶ ἄχρηστον ἐκπνεῖσθαι, τοῦθ' ὕλην ἐποιήσατο φωνῆς, καὶ τὴν καρδίαν οὐ διὰ τῆς φάρυγγος εὐθὺς ἔξωθεν ἕλκειν ἐποίησε τὸν ἀέρα, [2] μέσον δὲ δι' ἀμφοῖν ἔθηκε τὸν πνεύμονα, καθάπέρ τι ταμιεῖον πνεύματος, ἀμφοτέραις ταῖς ἐνεργείαις ὑπηρετεῖν ἅμα δυνάμενον. ἔστι δὲ καὶ αὐτοῦ ἡ σύστασις τοιάδε· αἱ καθ' ὅλον τὸ σῶμα φλέβες ἐξ ἑνὸς ἰδίου γεγόνασι χιτῶνος· ὁ γὰρ ἔξωθεν αὐταῖς ἐνίοτε περιφυόμενος ὑμὴν, ἔνθα συνδεῖσθαί τισιν ἢ στηρίζεσθαί τε καὶ σκέπεσθαι δέονται, κατ' ἐκεῖνα μόνα προσέρχεται. δύο δ' εἰσὶν οἱ τῆς ἀρτηρίας ἴδιοι χιτῶνες, ὁ μὲν ἔξωθεν οἷόσπερ ὁ τῆς φλεβὸς, ὁ δ' ἔνδον πενταπλάσιος τῷ πάχει τουδί· καὶ μέντοι καὶ σκληρότερος, εἰς ἐγκαρσίας ἴνας διαλυόμενος· ὅγε μὴν ἔξωθεν, ὁ καὶ ταῖς φλεψὶν ὑπάρχων, εὐθείας τε, καὶ μετρίως ἐνίας λοξὰς ἔχει τῶν ἰνῶν, ἐγκαρσίαν δ' οὐδεμίαν· ὁ δὲ ἔνδον χιτὼν τῆς ἀρτηρίας ὁ παχὺς καὶ σκληρὸς, οἷον δέρμά

1. ἐξ ἐναντιων συγκειμένην] Gal. XV. 417. ἐξ ἐναντίων μορίων συγκειμένην. Ita Räfarius legit. dubito tamen, an μορίων non fit gloſſema. certe

inſtrumentum, cujus motus initium a thorace exiſtit. Uſus vero reſpirationis in animantibus cauſa cordis ineſt, tum quod ipſum aëris ſubſtantia indigeat, tum quod fervido calore efferveſcens, refrigerium expetat. Ipſum autem refrigerat inſpiratio, frigidam ei qualitatem affundens; expiratio vero, quod in ipſo fervet, & quaſi combuſtum ac fuliginoſum eſt, ex ipſo profundens. Ex quo fit, ut duplicem habeat motum ex contrariis partibus conflatum: attrahit enim, dum dilatatur; inanitur vero, dum contrahitur. Quo loco mihi ſubit naturæ providentiam admirari: quum enim vocem in nobis eſſe ſatius eſſet, fieri vero ipſa ſine aëre nullo modo poſſet; quicquid otioſum alioqui atque inutile erat expirandum, id in materiam vocis convertit: & cor non protinus per fauces externum aërem trahere voluit, ſed utriusque medium pulmonem, quaſi ſpiritus promptuarium quoddam locavit, qui ambabus ſimul actionibus ſervire poſſet. Ejus porro talis eſt conſtitutio. Venæ totius corporis ex una peculiari tunica conſtant: nam exterior membrana ipſis nonnunquam adhæreſcens, ubi colligari quibusdam, aut firmari, aut tegi debent, illuc ſolum accedit. Arteriæ vero binæ peculiares ſunt tunicæ: exterior qualis venæ eſt; interior vero hujus craſſitie fere quintupla; quin & durior quoque & in transverſas fibras diſſoluta. Exterior autem, quæ venis etiam ineſt, rectis fibris, & quibusdam mediocriter obliquis, nullisque transverſis eſt contexta; interior vero arteriæ tunica craſſa, duraque, ceu cutem quandam interna ſuperficie continet,

K 2

certe ἐνεργειων magis conveniret. p. μέσον δ' ἀμφοῖν. rectius.
2. μέσον δὲ δ' ἀμφοῖν] Gal. ead.

μά τι κατὰ τὴν ἐντὸς ἐπιφάνειαν ἔχει παραπλήσιον ἀραχνίῳ, σαφῶς φαινόμενον ἐπὶ τῶν μεγάλων ἀρτηριῶν, ὃν ἔνιοι τρίτον ἀρτηρίας τίθενται χιτῶνα. τέταρτος δ' ἄλλος ἴδιος αὐτῆς οὐδείς ἐστιν, ἀλλ' ὥσπερ ἐνίαις τῶν φλεβῶν, οὕτω καὶ τῶν ἀρτηριῶν ἐπιφύεταί τε καὶ περιφύεται κατά τινα μέρη λεπτὸς ὑμὴν, σκέπων, ἢ στηρίζων, ἢ ξυνδέων αὐτὰς τοῖς πλησιάζουσι μορίοις· ὁποῖαι μὲν οὖν καθ' ὅλον τὸ σῶμα εἰσὶν αἱ ἀρτηρίαι, τοιοῦτον ἐκ τῆς δεξιᾶς κοιλίας τῆς καρδίας ἐκφυόμενον ἀγγεῖον, εἰς ὅλον τὸν πνεύμονα κατασχίζεται· ὁποῖαι δ' αἱ φλέβες, τοιοῦτον ἐκ τῆς ἀριστερᾶς, ὥστε τριῶν ἀγγείων διαπλεκόντων τὸν πνεύμονα, τὸ μὲν ἀπὸ τῆς ἀριστερᾶς κοιλίας τῆς καρδίας ὁρμώμενον, ἀρτηρίαν φλεβώδη καλεῖσθαι· τὸ δ' ἀπὸ τῆς δεξιᾶς, ἀρτηριώδη φλέβα· τὸ δὲ τρίτον ἀπὸ τῆς φάρυγγος, ἀρτηρίαν τραχεῖαν, ἐκ χόνδρων συγκειμένην, σιγματοειδῶν τὸ σχῆμα. τὸ μὲν οὖν κυκλοτερὲς τοῦ χόνδρου κατά τε τὴν μεγάλην ἀρτηρίαν τὴν ἐν τῷ τραχήλῳ, πρέμνου λόγον ἔχουσαν πρὸς τὰς ἐν τῷ πνεύμονι, καὶ κατὰ ταύτας ἐκείνας ὥσπερ τινας κλάδους ἀπ' αὐτῆς πεφυκυίας, ἐν τοῖς πρόσω τέτακται μέρεσι· καθ' ὃ δ' ἀπολείπεται μέρος ὁ χόνδρος εἰς τὴν τοῦ κύκλου συμπλήρωσιν, ἐν τοῖς ὀπίσω μέρεσίν ἐστι, κατὰ μὲν τὸν τράχηλον ὁμιλῶν τῷ στομάχῳ, κατὰ δὲ τὸν πνεύμονα τῇ κληθείσῃ πρὸς ἡμῶν ὀλίγον ἔμπροσθεν ἀρτηριώδει φλεβί. ἀναπληροῦται δὲ τὰ μεταξὺ τῶν ἀγγείων ὑπὸ τῆς τοῦ πνεύμονος ἰδίας οὐσίας, ἣν οἱ περὶ τὸν Ερασίστρατον ὀνομάζουσι παρέγχυμα. ὅτι δ' οὐχ οἷς ἐφ' ἥπατος οἱ λοβοὶ τοῦ πνεύμονος ἄνισοι τὸν ἀριθμόν εἰσιν, ἀλλ' ἐπὶ πάντων τῶν ζώων, ὑπὲρ ὧν ὁ λόγος ἡμῖν ἐστὶ, δύο μὲν ἐν τοῖς δεξιοῖς αὐτοῦ μέρεσι, δύο δ' ἐν τοῖς ἀριστεροῖς, ὡμολόγηται πᾶσιν· ὡμολόγηται δὲ, εἰ καὶ μὴ πᾶσιν, ἀλλὰ τοῖς γε ἀκριβέστερον ἀνατέμνουσιν, ὡς ἐν

τῷ

tinet, telæ aranearum manifeſto perſimilem, in magnis quidem arteriis perſpicuam, quam nonnulli tertiæ arteriæ tunicam ſtatuunt. Quarta vero alia peculiaris ei nulla eſt, ſed veluti quibusdam venis, ita etiam arteriis alicubi adhæreſcit, & circumtenditur membrana tenuis, quæ eas tegit, ſtabilit, & propinquis partibus connectit. Quales igitur toto corpore ſunt arteriæ, tale vas, ex dextro cordis ſinu progrediens, in totum pulmonem diffunditur; quales autem venæ, tale ex ſiniſtro procedit: ut ex tribus vaſis pulmonem intertexentibus, quod à ſiniſtro cordis ventriculo oritur, arteria venoſa nominetur: quod vero ex dextro, vena arterioſa dicatur: tertium quod a pharynge proficiſcitur, aſpera arteria, ex cartilaginibus C. literam referentibus conflata, nuncupetur. Quod vero orbiculatum eſt in cartilagine magnæ arteriæ, quæ in collo eſt, quæque caudicis rationem obtinet ad pulmonis arterias comparata, & in illis ipſis tanquam ramos quosdam ex ſe mittit, in priore parte eſt collocatum. Ubi vero cartilago deeſt ad circulum perficiendum, in poſterioribus partibus ſitum eſt: in collo quidem gulæ continuum; in pulmone vero ei venæ, quam paulo ante arterioſam appellavimus. Vaſorum autem intercapedines a propria ſubſtantia pulmonis implentur, quam Eraſiſtratus parenchyma nominat. Porro lobos pulmonis non impares numero eſſe, ut jecoris ſunt, ſed in omnibus animantibus, de quibus loquimur, duos in dextra ejus parte haberi duosque in ſiniſtris, conſtat inter omnes. Nec minus etiam inter omnes convenit, ac ſi non inter omnes, ſaltem inter eos, qui diligentius conſectiones

τῷ δεξιῷ μέρει τοῦ θώρακος, ἐστί τις καὶ πέμπτος λοβὸς μικρὸς, οἷον ἀποβλάστημά τι θατέρου τοῖν δυοῖν. εὑρήσεις δ' αὐτὸν ῥᾷστα τῇ κοίλῃ φλεβὶ προσέχων τὸν νοῦν. ἐκείνῃ γὰρ ὑποβέβληται, καθ' ὃ πρῶτον ἐμπίπτει τῷ θώρακι, καταλείπουσα τὰς φρένας. ἔστι δ' ὅτε καὶ κοιλότητά τινα [1] κατὰ τῶν ἐπιπολῆς αὐτοῦ σαφῶς ἰδεῖν ἐστὶν, ᾧ ἡ φλὲψ ἐστηρίζετο ζῶντος ἔτι τοῦ ζώου. μετὰ γάρ τοι θάνατον ὁ πνεύμων ἀεὶ συμπεπτωκὼς ὁρᾶται καὶ μικρὸς, οὐκ ὀλίγης γιγνομένης μεταξὺ χώρας αὐτοῦ τε καὶ τοῦ θώρακος, ἔμπαλιν ἢ ὡς ζῶντος ἔσχε τοῦ ζώου. πεποίηκε γὰρ ἡ φύσις, οὐχ ὡς ἀναπνευστικὸν ὄργανον, ἀλλ' ὡς ὑποστόρεσμά τι μαλθακὸν τῇ κοίλῃ φλεβὶ τὸν λοβὸν τοῦτον ἀπὸ τοῦ διαφράγματος ἄχρι τοῦ τῆς καρδίας ὠτὸς ἐκτεταμένον. ἡ δὲ σὰρξ τοῦ πνεύμονος ἀερώδης ὁρᾶται, καὶ πνεύματος μεστὴ, σαφῶς εἰς πέψιν ἀέρος ἐνδεικνυμένη παρεσκευᾶσθαι, καθάπερ ἡ τοῦ ἥπατος [2] εἰς τὴν τροφῆς. εὔλογον γὰρ οὐκ ἀθρόως, οὐδ' ἐξαίφνης τὸν ἔξωθεν ἀέρα τοῦ κατὰ ζῶον πνεύματος γίγνεσθαι τροφὴν, ἀλλὰ κατὰ βραχὺ μὲν ἀλλοιούμενον, ὥσπέρ γε καὶ τὰ σιτία· δεχόμενον δὲ τὴν οἰκείαν ποιότητα τῷ συμφύτῳ πνεύματι χρόνῳ πλέονι. καὶ ταύτης τῆς ἀλλοιώσεως τὸ πρῶτον ὄργανον ὑπάρχειν τὴν τοῦ πνεύμονος σάρκα, καθάπερ γε καὶ τῆς εἰς αἷμα μεταβολῆς ἡ σὰρξ τοῦ ἥπατος ἐδείκνυτο τὴν αἰτίαν ἔχειν. τὸ γὰρ ἐκ τῶν τραχειῶν ἀρτηριῶν πνεῦμα τὸ [3] ἔξωθεν ἔσω ἐνεχθὲν, ἐν μὲν τῇ σαρκὶ τοῦ πνεύμονος τὴν πρώτην ἐργασίαν λαμβάνει· μετὰ ταῦτα δὲ ἐν τῇ καρδίᾳ τε καὶ ταῖς ἀρτηρίαις, καὶ μάλιστα ταῖς κατὰ τὸ δικτυοειδὲς πλέγμα τὴν δευτέραν ἔπειλα, τήν τε τελειοτάτην ἐν ταῖς τοῦ ἐγκεφάλου κοιλίαις, ἔνθα δὴ καὶ ψυχικὸν ἀκριβῶς γίγνεται. ΠΕΡΙ

1. κατὰ τῶν ἐπιπολῆς αὐτῆ] Gal. IV. 159. κατὰ τὸ ἐπιπολῆς αὐτῆ. recte.
2. εἰς

administrant, in dextra thoracis parte quintum quendam lobum exiguum, veluti alterutrius sobolem existere; quem sane facillime comperies ad venam cavam animum advertens; siquidem illi subjacet, qua primum in thoracem relicto septo incidit. Nonnunquam etiam cavitatem quandam in ejus superficie clare conspicimus; cui vena, dum vivit adhuc animal, affirmatur: nam post obitum, pulmo semper collapsus & parvus apparet, non exigua ipsius & thoracis facta intercapedine, contra quam vivo animali haberet. Hunc vero lobum natura, non ut respirandi instrumentum, sed ut venæ cavæ aliquod molle stratum pararet, a septo transverso usque ad cordis auriculam extendit. Jam vero pulmonis caro aëria, spiritusque plena conspicitur, plane indicans se ad aëris, ut jecoris caro ad cibi concoctionem, esse comparatam. Etenim consentaneum est, non confertum, nec repente aërem externum spiritus, qui animali inest, fieri alimentum, sed paulatim immutatum, quemadmodum etiam cibi, familiaremque innato spiritui qualitatem diuturniore tempore recipere: hujusque immutationis carnem pulmonis primum esse instrumentum, quemadmodum jecoris carnem cibi in sanguinem mutationis causam esse ostendimus. Cæterum spiritus qui ab asperis arteriis extrinsecus intro trahitur, in pulmonis carne primum conficitur; deinde in corde atque arteriis, & iis præsertim, quæ plexu retiformi continentur; postremo vero ac perfectissime in cerebri ventriculis, ubi utique animalis exacte efficitur.

DE

2. εἰς τὴν τροφῆς] Gal. IV. 458. εἰς τὴν τῆς τροφῆς. melius.

3. ἔξωθεν ἔσω ἐνεχθὲν] Gal. ead. p. ἔξωθεν ἐλχθὲν. nostrum elegantius est.

ΠΕΡΙ ΤΟΥ ΘΥΜΟΥ.

ΤΟΝ καλούμενον θύμον, ἀδένα μέγιστόν θ' ἅμα καὶ μαλακώτατον ὑπέτεινεν ἡ φύσις τοῖς ἄνω μέρεσι τοῦ μέσου κατὰ τὸ στῆθος ὀστοῦ τοῦ στέρνου καλουμένου, ὡς μήτε ψαύειν αὐτὸ τῆς κοίλης φλεβὸς, τάς τε ἄλλας ἐκφύσεις ἁπάσας αὐτῆς τὰς ἐν τούτῳ τῷ χωρίῳ γιγνομένας παμπόλλας οὔσας στηρίζεσθαι, καθ' ἃ πρῶτον ἐμφύονται. ὅπου γὰρ ἂν μετέωρον ἀγγεῖον ἡ Φύσις σχίζει, πάντως ἐνταῦθα μέσον ἀδένα τὴν σχίσιν ἐκπληροῦντα κατατίθησι.

ΠΕΡΙ ΚΑΡΔΙΑΣ.

ΣΑΡΞ ἐστιν ἡ καρδία σκληρὰ καὶ δυσπαθὴς, ἐξ ἰνῶν πολυειδῶν συγκειμένη· μέση δὲ τέτακται τῶν τοῦ θώρακος εὐρυχωριῶν ἑκατέρας, περιλαμβανομένη κατὰ κύκλον ὑπὸ τοῦ πνεύμονος, καθάπερ δακτύλοις τισὶ, τοῖς λοβοῖς αὐτοῦ. διασημαίνει δ' ἡ κίνησις αὐλῆς, ὡς ἐν τοῖς ἀριστεροῖς μᾶλλον κειμένης, διὰ δὶττὴν αἰτίαν, ὅτι τε κατὰ τοῦτο τέτακται τοῦ ζώου τὸ μέρος ἡ πνευματικὴ κοιλία, καὶ ὅτι κέκλιταί πως ὅλη πρὸς τοῦτο μᾶλλον· οὐ γὰρ ὥσπερ ἡ βάσις αὐλῆς ἀκριβῶς ἐστὶ μέση τῶν τοῦ θώρακος ἀριστερῶν τε καὶ δεξιῶν, οὕτω καὶ ἡ κορυφή· διότι μηδ' ἀκριβῶς κατάντης ἀπὸ τῆς ἰδίας βάσεως ἐπὶ τὸ κάτω πέρας ἐκτέταται· παρεγκλίνει δ', ὡς ἔφην, ἐπὶ τὴν ἀριστερὰν χώραν. τὰ δ' ὦτα τῆς καρδίας καθ' ὁμοιότητά τινα τοῖς κυρίως ὀνομαζομένοις ὠσὶν ἐκάλεσαν οἱ πρόσθεν. δύο δὲ στόματ' ἐστὶν, ἓν καθ' ἑκάτερον τῶν εἰσαγόντων ἀγγείων τὰς ὕλας, ἐν μὲν τοῖς δεξιοῖς μέρεσι κατὰ τὴν τῆς φλεβὸς ἔμφυσιν εἰς τὴν ἐνταῦθα κοιλίαν τῆς καρδίας·

DE THYMO.

Adenem maximum & molliſſimum, quem thymum vocant, natura partibus ſuperioribus medii pectoris oſſis, quod στέρνον vocatur, ſubjecit, cum ut ne venam cavam attingeret, tum etiam ut omnia ejus germina, quæ hoc ipſo in loco ſunt quam plurima, qua primum emergunt, veluti ſtabilirentur: Ubicunque enim natura vas ſublime dividit, ibi ſemper mediam glandulam, quæ diviſionem oppleat, interponit.

DE CORDE.

Cor caro eſt dura, quæ ægre patitur, ex fibris multiplicibus conflata: ipſumque in medio thoracis capacitate collocatum pulmones ambiunt, idque ſuis lobis ceu digitis quibusdam in orbem amplectuntur. Motus autem ejus indicat, quaſi in parte ſiniſtra potius ſit collocatum, duplici cauſa: primum quia in ea animalis parte ventriculus, quo ſpiritus continetur, eſt ſitus; deinde, quia totum ad eam partem magis inclinat. Non enim ut baſis ipſius media exquiſite eſt lævæ dextræque thoracis partis, ita etiam vertex, quoniam neque declivis omnino a propria baſi ad finem inferiorem exporrectum eſt, ſed ad ſiniſtram regionem (ut diximus) deflectit. Cordis autem aures ad quandam aurium proprie nominatarum ſimilitudinem majores noſtri vocaverunt. Duo autem orificia ſunt in utroque vaſorum, materiam invehentium: in dextra quidem parte, qua vena in cordis ſinum inibi inſeritur; in ſiniſtra vero, qua venoſa arteria: quumque

δίας· ἐν δὲ τοῖς ἀριστεροῖς, κατὰ τὴν τῆς ἀρτηρίας τῆς φλεβώδους. ἀναπτύξαντος δέ σου ταυτὶ τὰ ὦτα, τό, τε σῶμα τῆς καρδίας αὐτὸ φανεῖται, καὶ τῶν εἰρημένων στομάτων ἑκάτερον, οἵθ' ὑμένες οἱ κατὰ τὴν ἔμφυσιν ἐπικείμενοι, τρεῖς μὲν ἐπὶ τῆς δεξιᾶς κοιλίας, δύο δ' ἐπὶ τῆς ἀριστερᾶς, ὧν τὸ σχῆμα τῆς συνθέσεως ἔοικε ταῖς τῶν βελῶν γλωχίσι· ταῦτά τοι καὶ τριγλώχινας αὐτὰς ὠνόμασαν ἔνιοι τῶν ἀνατομικῶν. λοιπὰ δ' ἐστὶ δύο στόματα τῶν ἐξαγόντων τὰς ὕλας ἀγγείων, ἐκ μέν τῆς δεξιᾶς κοιλίας εἰς τὸν πνεύμονα τὸ τῆς ἀρτηριώδους φλεβὸς, ἐκ δὲ τῆς ἀριστερᾶς εἰς ὅλον τοῦ ζώου τὸ σῶμα τὸ τῆς μεγάλης ἀρτηρίας· ἐφ' ὧν αὖ πάλιν ἑκατέρου θεάσῃ τρεῖς ὑμένας σιγμοειδεῖς τὸ σχῆμα, νεύοντας ἔξω τῆς καρδίας, ὥσπερ οἱ τριγλώχινες εἴσω. χρεία δ' αὐτῶν ἐστὶν ἁπάντων κοινῇ, κωλύσαι παλινδρομεῖν εἰς τοὐπίσω τὰς ὕλας. τοῦ πνεύμονος δ' ἐνήλλαξεν ἡ φύσις τῶν ἀγγείων τοὺς χιτῶνας, οὐ μάτην, ἀρτηριώδη μὲν ἐργασαμένη τὴν φλέβα, φλεβώδη δὲ τὴν ἀρτηρίαν. τρέφεται μὲν γὰρ ἕκαστον ὑπὸ τῆς ὁμοίας ἑαυτῷ τροφῆς. κοῦφον δ' ἐστὶ καὶ μανὸν, καὶ οἷον ἐξ ἀφροῦ τινὸς αἱματώδους πεπηγότος τὸ τοῦ πνεύμονος σῶμα. καὶ διὰ τοῦτο δεόμενον ἀτμώδους καὶ λεπτοῦ καὶ καθαροῦ τοῦ αἵματος, [1] οὐχ ὥσπερ ἧπαρ ἰλυώδους τε καὶ παχέος. [2] διὸ καὶ ἔμπαλιν αὐτῷ τῶν ἀγγείων ἔχει, μάλιστα δὲ καὶ τοῖς καθ' ἧπαρ, ἢ δὲ καὶ τοῖς ἄλλοις τοῦ ζώου μορίοις. τοῖς μὲν γὰρ ἀραιός τε καὶ λεπτὸς ὁ χιτὼν ὑπάρχων τοῦ τὸ αἷμα χορηγοῦντος ἀγγείου, πλεῖστον τοῦ παχέος ἑτοίμως τοῖς περιέχουσι διαδίδωσι· [3] τῷ δὲ πνεύμονι πάχους οὐδὲν, ὅτι μὴ τὸ λεπτὸν, ἐπιτρέπει

1. οὐχ ὥσπερ ἧπαρ] Gal. IV. 429. οὐχ ὥσπερ τὸ ἧπαρ. melius.

2. διὸ καὶ ἔμπαλιν αὐτῷ τῶν ἀγγείων ἔχει] Gal. ead. p. ὅθεν ἔμπαλιν αὐτῷ τὰ τῶν ἀγγείων ἔχει. omnino recte: nam absque τὰ verba non

CO;

has aures aperueris, tum ipſum cordis corpus apparebit, tum utrumque ex dictis orificiis: deinde membranæ inſertioni ipſorum incumbentes, tres in ſinu dextro, duæ in ſiniſtro: quarum ſtructuræ figura ſimilis eſt telorum cuspidi, ideoque triſulcas nonnulli Anatomici eas vocaverunt. Duo alia ſunt orificia vaſorum materias educentium, ex dextro quidem ventriculo in pulmonem venæ arterioſæ; ex ſiniſtro vero in totum animantis corpus, grandis arteriæ. In quibus iterum tres membranas utrinque ad Literæ C. ſimilitudinem factas conſpicies, extra cor tendentes, veluti triſulcas intro. Communis autem omnium ipſarum eſt uſus, ut materias retrocedere prohibeant. In pulmone autem natura tunicas vaſorum commutavit, nec fruſtra venam arterioſam, & arteriam venoſam eſt fabricata: unumquodque enim alimento ſibi ſimili nutritur. Pulmonis autem corpus leve, eſt, ac rarum, & velut e ſpuma quadam ſanguinea concreta conflatum: ob eamque cauſam puro ſanguine, vaporoſo, & tenui indiguit; non autem, quomodo jecur, limoſo atque craſſo. Quocirca vaſa habet contraria, maxime quidem iis, qui ſunt in jecore, quam & in aliis animantis particulis. In his enim, quum tunica vaſis, quod ſanguinem ſuppeditat, rara ſit ac tenuis, plurimum craſſi ſanguinis, atque celeriter partibus circumfuſis diſtribuit; in pulmone vero quum craſſa ſit, nihil niſi tenue ſinit elabi. Ac cæteris quidem partibus arteriæ craſſæ ac denſæ generatæ paucum omnino, eundemque vaporoſum ſanguinem vicinis partibus trahere permittunt:

cohærent.

3. τῷ δὲ πνεύμονι πάχους οὐδὲν, ὅτι μὴ τὸ λεπτὸν, ἐπιτρέπει διέρχεσθαι] Gal. ead. p. τῷ δὲ πνεύμονι, παχὺς καὶ πυκνὸς γενέμενος, οὐδὲν ὅτι μὴ λεπτότατον ἐπιτρέπει διεξέρχεσθαι. Raſa-

τρέπει διέρχεσθαι. καὶ τοῖς μὲν ἄλλοις αἱ ἀρτηρίαι παχεῖαι καὶ πύκναι γενηθεῖσαι παντάπασιν ὀλίγον ἀτμώδους ἄιματος τοῖς παρακειμένοις μορίοις ἔλκειν ἐπιτρέπουσι. τῷ δὲ πνεύμονι μόνῳ, πάμπολυ τὸ τοιοῦτον μεθιᾶσιν, ὑπὸ μανότητός τε καὶ λεπτότητος ἀδυνατοῦσαι στέγειν· ὥστε πάντη τῷ πνεύμονι τὰ περὶ τὴν τροφὴν ὑπεναντίως ἔχει τοῖς ἄλλοις ἅπασι τοῦ ζώου μορίοις, [1] ὥσπερ καὶ τὰ τῆς τοῦ σώματος ἰδέας. διὰ δὴ τὴν εὐπορίαν τῆς τοιαύτης τροφῆς ἀπὸ καρδίας ἐπιπέμπεται τῷ πνεύμονι, τοῦ αἵματος ἀκριβῶς ἐν ἐκείνῃ κατειργασμένου τε καὶ λελεπτυσμένου· τὸ δὲ κατὰ τὴν κεφαλὴν τῆς καρδίας εὑρισκόμενον ὀστοῦν, οὐκ ἐν ἅπασι τοῖς ζώοις ἀκριβές ἐστιν ὀστοῦν, [2] ἀλλ' ἐν μὲν τοῖς μείζοσιν ἀκριβὴς χόνδρος ἐστὶν, ἐν δὲ τοῖς ἱκανῶς μεγάλοις, χόνδρος ὀστώδης, κατὰ δὲ τὰ μέγιστα τὸ πλεῖον ὀστώδης. [3] ἀρτηρίαι μὲν οὖν καὶ φλέβες πάντη ἐν κύκλῳ περιέρχονται τὸ τῆς καρδίας σῶμα· νεῦρον δ' οὐδὲν φαίνεται κατεσχισμένον εἰς αὐτὴν, ὥσπερ οὐδ' εἰς ἧπαρ, ἢ νεφροὺς, ἢ σπλῆνα. μόνον γὰρ δὴ τὸ περικάρδιον σκέπασμα λεπτῶν νεύρων φαίνεται δεχόμενον βλαστήματα. θεάσει δὲ δήπου γυμνώσας ὅλην τὴν καρδίαν, [4] τὴν μὲν ἀριστερὰν κοιλίαν τὴν ἀνήκουσαν ἐπ' ἄκραν τὴν κορυφήν· τὴν δεξιὰν δὲ, πολὺ κατωτέρω παυομένην, καὶ περιγραφὴν δὲ πολλάκις ἰδίαν ἔχουσαν, ἐπὶ μὲν τῶν μεγάλων ζώων μᾶλλον, ἔστι δ' ὅτε καὶ ἐπὶ τῶν μικρῶν· τινὲς γοῦν δύο κορυφὰς ἔχουσαν εὑρίσκοντες τὴν καρδίαν

rius videtur legiſſe τῷ δὲ πνεύμονι, παχὺς, οὐδὲν, ὅτι μὴ· etcæt. quod probo: ſæpe enim auctor noſter, ita Epitomatorem agit. ſubaudiendum eſt itaque ad παχὺς, ὁ χιτὼν ὑπάρχων, ut ex verſione Raſarii adparet; & ſenſus erit perſpicuus.

1. ὥσπερ καὶ τὰ τῆς τε σώματος ἰδέας] Sic. Gal. IV. 429. Raſarius pro ἰδέας videtur inveniſſe ἐσίας.

2. ἀλλ' ἐν μὲν τοῖς μείζοσιν ἀκριβὴς &c.] Vitium apertum alit illud μείζοσιν: ſcribendum ſine dubio ἀλλ' ἐν μὲν τοῖς μείοσιν. Apud Galenum IV.

mittunt: pulmoni vero ſolum, copioſisſimum hujusmodi impartiunt, quippe quæ præ raritate ac tenuitate continere ipſum non poſſint. Ex quo fit, ut nutriendi ratio pulmoni plane contraria ſit, ac cæteris omnibus partibus animantis, quemadmodum etiam corporis ſubſtantia. Ut igitur magna hujus alimenti copia pulmoni ſuppeteret, ad eum ſanguinis exquiſite elaboratus & extenuatus a corde transmittitur. Quod vero in capite cordis os invenitur, non in cunctis animalibus os exquiſitum eſt, ſed in grandioribus eſt exacta cartilago; in valde grandibus cartilago oſſea; in maximis vero etiam magis oſſea. Arteriæ autem & venæ totum cordis corpus in orbem complectuntur. Nullus vero nervus in ipſum videtur diſtribui, ſicut neque in jecur, neque in renes, nec lienem. Solum enim ejus involucrum, pericardion, propagines nervorum tenuium recipere videtur. Cæterum toto corde nudato, videbis ſiniſtrum ejus ventriculum ad ſummum verticem aſcendere, dextrum inferius multo ceſſare, & circumſcriptionem propriam ſæpe habere: idque magis in magnis animalibus; nonnunquam vero etiam in parvis. Nonnulli igitur duos quandoque vertices in corde comperientes, duo

IV. 157. locus hic ita habet: ἐν μὲν γὰρ τοῖς μικροῖς, ἀτρέμα χονδρώδης ἐστίν, ἐν δὲ τοῖς μείζοσιν, ἀκριβὴς χόνδρος; ἐν δὲ τοῖς ἱκανῶς μεγάλοις, χόνδρος ὀστώδης. Quæ ſi rite conferas, videbis facile mecum, iſtam diverſitatem ortam eſſe ex librorum diverſitate.

3. ἀρτηρίαι μὲν οὖν καὶ φλέβες πάντη ἐν κύκλῳ περιέρχονται τὸ τῆς καρδίας σῶμα] Gal. IV. 445. ἀρτηρία μὲν οὖν καὶ φλὲψ, ὅπαν ἐν κύκλῳ περιέχωσι τῆς καρδίας τὸ σῶμα. Videtur hic Oribaſius rei veritatem potius reſpexiſſe, quam verba vel mentem Galeni; ſunt enim plures arteriæ & venæ, quæ cor circumambiunt, non una arteria & una vena; ut ſatis notum.

4. τὴν μὲν ἀριστερὰν κοιλίαν τὴν ἀνήκουσαν &c.] Dele τὴν ante ἀνήκουσαν, quod ſententiam corrumpit; vel muta in αὐτῆς, ut apud Gal. IV. 158. τὴν μὲν ἀριστερὰν κοιλίαν αὐτῆς ἀνήκουσαν ἐπ' ἄκραν &c.

δίαν ἐνίοτε, νομίζουσι δύο εἶναι καρδίας. στόματα δὲ παντ᾽ εἶναι φαμεν τέτταρα τῶν τεττάρων ἀγγείων· τὰ δ᾽ ὦτα τῶν κοιλιῶν τῆς καρδίας ἐκτός ἐστιν. εἰ δέ τις αὐτὰ μέρη τοῦ σπλάγχνου τιθέμενος, ἐπιπλέον ἐκτείνοι τὸν ἀριθμὸν τῶν στομάτων, δόξει διαφωνεῖν ἡμῖν· ἓν γάρ ἐστι τὸ στόμα τῆς Φλεβώδους ἀρτηρίας κατὰ τὴν ἀριστερὰν κοιλίαν· οὐ μὴν μένει γε ἄχρι πλείονος, [1] ἀλλὰ εὐθέως ἐν τῇ κατὰ τὸ οὖς εὐρυχωρίᾳ σχισθὲν εἰς τέτταρα μόρια, πρὸς ἕκαστον ἓν ἀφικνεῖται τῶν τοῦ πνεύμονος λοβῶν. σφύζουσι δὲ, ἀμφότεραι μὲν αἱ κοιλίαι τῆς καρδίας διοιγομένου τοῦ θώρακος, οὐ μὴν ὡσαύτως ἐν ἀμφοῖν αἷμά τε καὶ πνεῦμα περιέχεται. πλεονεκτεῖ γὰρ οὐκ ὀλίγῳ, κατὰ μὲν τὴν δεξιὰν ἡ τοῦ αἵματος οὐσία, κατὰ δὲ τὴν ἀριστερὰν ἡ τοῦ πνεύματος. ἐπεὶ δ᾽ ἡ καρδία τῆς ἐμφύτου θερμασίας ἢ [2] διοικεῖ τὸ ζῶον, οἷον ἑστία τις ἐστὶ καὶ πηγὴ, πᾶν μὲν ἂν οὕτω μόριον αὐτῆς εἴη κύριον, ἀλλὰ μᾶλλον, ὅσων ἡ χρεία τῷ παντὶ ζώῳ διαφυλάττει τὴν ζωήν. ἔστι δὴ ταῦτα δυοῖν ἀγγείων στόματα κατὰ τὴν ἀριστερὰν αὐτῆς κοιλίαν, ἣν τοῖς ἰατροῖς ἔθος ἐστὶν ὀνομάζειν πνευματικήν· διὰ γὰρ δὴ που τούτων στομάτων ἡ καρδία, διὰ μὲν τοῦ μικροτέρου, ταῖς κατὰ τὸν πνεύμονα· διὰ δὲ τοῦ μείζονος, ἁπάσαις ταῖς καθ᾽ ὅλον τὸ ζῶον ἀρτηρίαις ἐστὶ συνεχής. ἧττον δ᾽ ἂν εἴη τούτων κύρια τὰ κατὰ τὴν ἑτέραν αὐτῆς κοιλίαν, ἣν αἱματικὴν ὀνομάζουσιν. ὅμως μὴν καὶ ταῦτα τῶν ἄλλων κυριώτερα, τὸ μὲν εἰσάγον εἰς αὐτὴν τὸ αἷμα, τὸ δ᾽ ἐξ αὐτῆς εἰς τὸν πνεύμονα παράγον.

ΠΕΡΙ

1. ἀλλὰ εὐθέως ἐν τῇ κατὰ τὸ οὖς εὐρυχωρίᾳ] Gal. IV. 159. ἀλλ᾽ εὐθέως ἐν τῇ κάτω οὐσῇ εὐρυχωρίᾳ. Nulla potest esse dubitatio, quin nostra lectio

